# Ἰούδα

Ἰούδας Ἰησοῦ χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν θεῷ πατρὶ **1**
ἡγιασμένοις,[1] καὶ Ἰησοῦ χριστῷ τετηρημένοις, κλητοῖς:[2] ἔλεος[3] ὑμῖν 2
καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη.[4]

Ἀγαπητοί, πᾶσαν σπουδὴν[5] ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς[6] 3
σωτηρίας, ἀνάγκην[7] ἔσχον γράψαι ὑμῖν, παρακαλῶν ἐπαγωνίζεσθαι[8]
τῇ ἅπαξ[9] παραδοθείσῃ τοῖς ἁγίοις πίστει. Παρεισέδυσαν[10] γάρ τινες 4
ἄνθρωποι, οἱ πάλαι[11] προγεγραμμένοι[12] εἰς τοῦτο τὸ κρίμα,[13] ἀσεβεῖς,[14]
τὴν τοῦ θεοῦ ἡμῶν χάριν μετατιθέντες[15] εἰς ἀσέλγειαν,[16] καὶ τὸν
μόνον δεσπότην[17] θεὸν καὶ κύριον ἡμῶν Ἰησοῦν χριστὸν ἀρνούμενοι.

Ὑπομνῆσαι[18] δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ[9] τοῦτο, ὅτι ὁ 5
κύριος, λαὸν ἐκ γῆς Αἰγύπτου[19] σώσας, τὸ δεύτερον τοὺς μὴ
πιστεύσαντας ἀπώλεσεν. Ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν 6
ἑαυτῶν ἀρχήν, ἀλλὰ ἀπολιπόντας[20] τὸ ἴδιον οἰκητήριον,[21] εἰς κρίσιν
μεγάλης ἡμέρας δεσμοῖς[22] ἀϊδίοις[23] ὑπὸ ζόφον[24] τετήρηκεν. Ὡς 7
Σόδομα[25] καὶ Γόμορρα,[26] καὶ αἱ περὶ αὐτὰς πόλεις, τὸν ὅμοιον τούτοις

[1] ἁγιάζω, make holy, consecrate. [2] κλητός, called, summoned. [3] ἔλεος, ους, ὁ, pity, mercy. [4] πληθύνω, multiply, increase. [5] σπουδή, ῆς, ἡ, haste, diligence. [6] κοινός, common, unclean. [7] ἀνάγκη, ης, ἡ, necessity, distress. [8] ἐπαγωνίζομαι, contend, contend earnestly for. [9] ἅπαξ, once, once for all. [10] παρεισδύω, creep in unnoticed, enter secretly. [11] πάλαι, long ago, of old. [12] προγράφω, write before, write previously. [13] κρίμα, ος, τό, judgment, verdict. [14] ἀσεβής, ungodly, impious. [15] μετατίθημι, transfer, change. [16] ἀσέλγεια, ας, ἡ, licentiousness, debauchery. [17] δεσπότης, ου, ὁ, master, lord. [18] ὑπομιμνήσκω, remind, remember. [19] Αἴγυπτος, ου, ἡ, Egypt. [20] ἀπολείπω, leave, leave behind. [21] οἰκητήριον, ου, τό, dwelling, habitation. [22] δεσμός, οῦ, ὁ, chain, bond. [23] ἀΐδιος, eternal, everlasting. [24] ζόφος, ου, ὁ, deep gloom, darkness. [25] Σόδομα, ων, τό, Sodom. [26] Γόμορρα, ας, ἡ, Gomorrah.

τρόπον[1] ἐκπορνεύσασαι,[2] καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας,
πρόκεινται[3] δεῖγμα,[4] πυρὸς αἰωνίου δίκην[5] ὑπέχουσαι.[6] Ὁμοίως 8
μέντοι[7] καὶ οὗτοι ἐνυπνιαζόμενοι[8] σάρκα μὲν μιαίνουσιν,[9] κυριότητα
δὲ ἀθετοῦσιν,[11] δόξας δὲ βλασφημοῦσιν. Ὁ δὲ Μιχαὴλ[12] ὁ 9
ἀρχάγγελος,[13] ὅτε τῷ διαβόλῳ διακρινόμενος[14] διελέγετο[15] περὶ τοῦ
Μωϋσέως σώματος, οὐκ ἐτόλμησεν[16] κρίσιν ἐπενεγκεῖν[17]
βλασφημίας,[18] ἀλλ' εἶπεν, Ἐπιτιμήσαι σοι κύριος. Οὗτοι δὲ ὅσα μὲν 10
οὐκ οἴδασιν βλασφημοῦσιν: ὅσα δὲ φυσικῶς,[19] ὡς τὰ ἄλογα[20] ζῷα,[21]
ἐπίστανται,[22] ἐν τούτοις φθείρονται.[23] Οὐαὶ αὐτοῖς: ὅτι τῇ ὁδῷ τοῦ 11
Κάϊν[24] ἐπορεύθησαν, καὶ τῇ πλάνῃ[25] τοῦ Βαλαὰμ[26] μισθοῦ[27]
ἐξεχύθησαν,[28] καὶ τῇ ἀντιλογίᾳ[29] τοῦ Κόρε[30] ἀπώλοντο. Οὗτοί εἰσιν 12
ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες,[31] συνευωχούμενοι,[32] ἀφόβως[33]
ἑαυτοὺς ποιμαίνοντες:[34] νεφέλαι[35] ἄνυδροι,[36] ὑπὸ ἀνέμων
παραφερόμεναι:[37] δένδρα[38] φθινοπωρινά,[39] ἄκαρπα,[40] δὶς[41]
ἀποθανόντα, ἐκριζωθέντα:[42] κύματα[43] ἄγρια[44] θαλάσσης, 13
ἐπαφρίζοντα[45] τὰς ἑαυτῶν αἰσχύνας:[46] ἀστέρες[47] πλανῆται,[48] οἷς ὁ
ζόφος[49] τοῦ σκότους εἰς αἰῶνα τετήρηται. Προεφήτευσεν[50] δὲ καὶ 14
τούτοις ἕβδομος[51] ἀπὸ Ἀδὰμ Ἐνώχ, λέγων, Ἰδού, ἦλθεν κύριος ἐν

[1] τρόπος, ου, ὁ, manner, way. [2] ἐκπορνεύω, indulge in gross immorality. [3] πρόκειμαι, be set before, be exhibited. [4] δεῖγμα, τος, τό, proof, example. [5] δίκη, ης, ἡ, penalty, punishment. [6] ὑπέχω, undergo punishment, suffer. [7] μέντοι, yet, however. [8] ἐνυπνιάζομαι, dream. [9] μιαίνω, stain, defile. [10] κυριότης, ητος, ἡ, lordship, dominion. [11] ἀθετέω, reject, annul. [12] Μιχαήλ, ὁ, Michael. [13] ἀρχάγγελος, ου, ὁ, chief angel, archangel. [14] διακρίνω, discriminate, judge. [15] διαλέγομαι, dispute, reason. [16] τολμάω, dare, endure. [17] ἐπιφέρω, bring upon, inflict. [18] βλασφημία, ας, ἡ, blasphemy, reproach. [19] φυσικῶς, naturally, by instinct. [20] ἄλογος, without reason, absurd. [21] ζῷον, ου, τό, living creature, animal. [22] ἐπίσταμαι, understand, know. [23] φθείρω, destroy, corrupt. [24] Κάϊν, ὁ, Cain. [25] πλάνη, ης, ἡ, wandering, error. [26] Βαλαάμ, ὁ, Balaam. [27] μισθός, οῦ, ὁ, wages, reward. [28] ἐκχέω, pour out, shed. [29] ἀντιλογία, ας, ἡ, dispute, contradiction. [30] Κορέ, ὁ, Korah. [31] σπιλάς, άδος, ἡ, (hidden) reef, spot. [32] συνευωχέομαι, feast together, carouse together. [33] ἀφόβως, fearlessly. [34] ποιμαίνω, shepherd, rule. [35] νεφέλη, ης, ἡ, cloud. [36] ἄνυδρος, waterless, dry. [37] παραφέρω, carry away, remove. [38] δένδρον, ου, τό, tree. [39] φθινοπωρινός, belonging to late autumn, autumnal. [40] ἄκαρπος, unfruitful, barren. [41] δίς, twice. [42] ἐκριζόω, uproot, root out. [43] κῦμα, τος, τό, wave. [44] ἄγριος, wild, savage. [45] ἐπαφρίζω, cause to foam, foam out. [46] αἰσχύνη, ης, ἡ, shame. [47] ἀστήρ, ος, ὁ, star. [48] πλανήτης, ου, ὁ, wanderer, roamer. [49] ζόφος, ου, ὁ, deep gloom, darkness. [50] προφητεύω, prophesy, foretell. [51] ἕβδομος, seventh.

ἁγίαις μυριάσιν[1] αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ ἐλέγξαι[2] 15
πάντας τοὺς ἀσεβεῖς[3] αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας[4]
αὐτῶν ὧν ἠσέβησαν,[5] καὶ περὶ πάντων τῶν σκληρῶν[6] ὧν ἐλάλησαν
κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς.[3] Οὗτοί εἰσιν γογγυσταί,[7] 16
μεμψίμοιροι,[8] κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα
αὐτῶν λαλεῖ ὑπέρογκα,[9] θαυμάζοντες πρόσωπα ὠφελείας[10] χάριν.[11]

Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε[12] τῶν ῥημάτων τῶν προειρημένων[13] ὑπὸ 17
τῶν ἀποστόλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ: ὅτι ἔλεγον ὑμῖν 18
ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται,[14] κατὰ τὰς ἑαυτῶν
ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν.[4] Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, 19
ψυχικοί,[16] πνεῦμα μὴ ἔχοντες. Ὑμεῖς δέ, ἀγαπητοί, τῇ ἁγιωτάτῃ 20
ὑμῶν πίστει ἐποικοδομοῦντες[17] ἑαυτούς, ἐν πνεύματι ἁγίῳ
προσευχόμενοι, ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε, προσδεχόμενοι[18] 21
τὸ ἔλεος[19] τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ εἰς ζωὴν αἰώνιον. Καὶ οὓς 22
μὲν ἐλεεῖτε[20] διακρινόμενοι:[21] οὓς δὲ ἐν φόβῳ σῴζετε, ἐκ πυρὸς 23
ἁρπάζοντες,[22] μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον[23]
χιτῶνα.[24]

[1] μυριάς, άδος, ἡ, ten thousand, myriad. [2] ἐλέγχω, convict, reprove. [3] ἀσεβής, ungodly, impious. [4] ἀσέβεια, ας, ἡ, ungodliness, impiety. [5] ἀσεβέω, act impiously, in an ungodly way. [6] σκληρός, hard, rough. [7] γογγυστής, οῦ, ὁ, grumbler, murmurer. [8] μεμψίμοιρος, dissatisfied, finding fault. [9] ὑπέρογκος, arrogant, haughty. [10] ὠφέλεια, ας, ἡ, benefit, advantage. [11] χάριν, in favor of, for the pleasure of. [12] μιμνήσκομαι, remember, recall. [13] προλέγω, say beforehand, forewarn. [14] ἐμπαίκτης, ου, ὁ, mocker. [15] ἀποδιορίζω, cause divisions, make a distinction. [16] ψυχικός, natural, wordly-minded. [17] ἐποικοδομέω, build upon, build upon a foundation. [18] προσδέχομαι, receive, wait for. [19] ἔλεος, ους, ὁ, pity, mercy. [20] ἐλεέω, have mercy, pity. [21] διακρίνω, discriminate, judge. [22] ἁρπάζω, seize, snatch. [23] σπιλόω, stain, defile. [24] χιτών, ῶνος, ὁ, tunic, garment.

Τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς ἀπταίστους,[1] καὶ στῆσαι κατενώπιον[2] 24
τῆς δόξης αὐτοῦ ἀμώμους[3] ἐν ἀγαλλιάσει,[4] μόνῳ σοφῷ[5] θεῷ σωτῆρι[6] 25
ἡμῶν, δόξα καὶ μεγαλωσύνη,[7] κράτος[8] καὶ ἐξουσία, καὶ νῦν καὶ εἰς
πάντας τοὺς αἰῶνας. Ἀμήν.

[1] ἄπταιστος, without stumbling. [2] κατενώπιον, before, in the presence of (gen). [3] ἄμωμος, without blemish, blameless. [4] ἀγαλλίασις, εως, ἡ, delight, great joy. [5] σοφός, wise. [6] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [7] μεγαλωσύνη, ης, ἡ, greatness, majesty. [8] κράτος, ους, τό, power, dominion.